[25]καὶ εἶπεν Βαλακ πρὸς Βαλααμ Οὔτε κατάραις καταράσῃ μοι αὐ- 25
τὸν οὔτε εὐλογῶν μὴ εὐλογήσῃς αὐτόν. [26]καὶ ἀποκριθεὶς Βαλααμ 26
εἶπεν τῷ Βαλακ Οὐκ ἐλάλησά σοι λέγων Τὸ ῥῆμα, ὃ ἐὰν λαλήσῃ
ὁ θεός, τοῦτο ποιήσω;

[27]Καὶ εἶπεν Βαλακ πρὸς Βαλααμ Δεῦρο παραλάβω σε εἰς τόπον 27
ἄλλον, εἰ ἀρέσει τῷ θεῷ καὶ καταρᾶσαί μοι αὐτὸν ἐκεῖθεν. [28]καὶ 28
παρέλαβεν Βαλακ τὸν Βαλααμ ἐπὶ κορυφὴν τοῦ Φογωρ τὸ παρα-
τεῖνον εἰς τὴν ἔρημον. [29]καὶ εἶπεν Βαλααμ πρὸς Βαλακ Οἰκοδό- 29
μησόν μοι ὧδε ἑπτὰ βωμοὺς καὶ ἑτοίμασόν μοι ὧδε ἑπτὰ μόσχους
καὶ ἑπτὰ κριούς. [30]καὶ ἐποίησεν Βαλακ καθάπερ εἶπεν αὐτῷ Βα- 30
λααμ, καὶ ἀνήνεγκεν μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν. [1]καὶ ἰδὼν 24
Βαλααμ ὅτι καλόν ἐστιν ἔναντι κυρίου εὐλογεῖν τὸν Ισραηλ, οὐκ
ἐπορεύθη κατὰ τὸ εἰωθὸς εἰς συνάντησιν τοῖς οἰωνοῖς καὶ ἀπέ-
στρεψεν τὸ πρόσωπον αὐτοῦ εἰς τὴν ἔρημον. [2]καὶ ἐξάρας Βαλααμ 2
τοὺς ὀφθαλμοὺς αὐτοῦ καθορᾷ τὸν Ισραηλ ἐστρατοπεδευκότα κατὰ
φυλάς. καὶ ἐγένετο πνεῦμα θεοῦ ἐν αὐτῷ, [3]καὶ ἀναλαβὼν τὴν πα- 3
ραβολὴν αὐτοῦ εἶπεν

Φησὶν Βαλααμ υἱὸς Βεωρ,
φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν,
[4]φησὶν ἀκούων λόγια θεοῦ, 4
ὅστις ὅρασιν θεοῦ εἶδεν
ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ
[5]Ὡς καλοί σου οἱ οἶκοι, Ιακωβ, 5
αἱ σκηναί σου, Ισραηλ·
[6]ὡσεὶ νάπαι σκιάζουσαι 6
καὶ ὡσεὶ παράδεισοι ἐπὶ ποταμῶν
καὶ ὡσεὶ σκηναί, ἃς ἔπηξεν κύριος,
ὡσεὶ κέδροι παρ᾽ ὕδατα.
[7]ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ 7
καὶ κυριεύσει ἐθνῶν πολλῶν,
καὶ ὑψωθήσεται ἢ Γωγ βασιλεία αὐτοῦ,
καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ.
[8]θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, 8
ὡς δόξα μονοκέρωτος αὐτῷ·
ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ
καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ
καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν.

26 και αποκρ.] αποκρ. δε A || 28 κορυφην] pr. την A
24 1 εναντιον A | αυτου > B*† || 2 πνευμα — fin.] επ αυτω πνευμα θεου A || 4 φησιν ακουων λογια θεου B] > al., ※ φησιν ακ. λογ. ισχυρου *O*, φησιν ακ. λογ. θεου ισχυρου A† || 5 σου / οι οικοι] tr. A(om. οι) || 6 ωσει 1⁰] ως B*(uid.) | παραδεισος B*† || 7 αυτου 2⁰ > B || 8 θεος] pr. ο A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/311 UNIVERSITÄT LEIPZIG